# LanguageCert

# B2

# Test of Classical Greek

# B2_Practice Test_PB

| **Candidate's name** (block letters please) | |
|---|---|
| **Centre no** | **Date** |

**Time allowed:**

- Reading and Language Use 120 minutes

Instructions to Candidates

- An Answer Sheet will be provided.

- All answers must be transferred to the Answer Sheet.

- Please use a soft pencil (2B, HB).

**Part 1**

Read the text. Choose the correct answers to complete the text.

Παρὰ γοῦν μόνοις ᾿Αρκάσιν οἱ παῖδες ἐκ νηπίων ᾄδειν ἐθίζονται κατὰ νόμον τοὺς ὕμνους καὶ παιᾶνας, οἷς ἕκαστοι κατὰ τὰ πάτρια τοὺς ἐπιχωρίους **(1)** …………………… καὶ θεοὺς ὑμνοῦσι. Μετὰ δὲ ταῦτα τοὺς Τιμοθέου καὶ Φιλοξένου νόμους **(2)** …………………… χορεύουσι κατ' ἐνιαυτὸν τοῖς Διονυσιακοῖς αὐληταῖς ἐν τοῖς θεάτροις, οἱ μὲν οὖν παῖδες τοὺς παιδικοὺς ἀγῶνας, οἱ δὲ νεανίσκοι τοὺς τῶν ἀνδρῶν. Καὶ παρ' ὅλον δὲ τὸν βίον ἐν ταῖς συνουσίαις ταῖς κοιναῖς οὐχ **(3)** …………………… ποιοῦνται τὰς ἀγωγὰς διὰ τῶν ἐπεισάκτων ἀκροαμάτων ὡς δι' αὑτῶν, ἀνὰ μέρος **(4)** …………………… ἀλλήλοις προστάττοντες. Καὶ τῶν μὲν ἄλλων μαθημάτων ἀρνηθῆναί τι μὴ εἰδέναι οὐδενὶ αὐτῶν αἰσχρόν ἐστιν, τὸ δὲ ᾄδειν ἀποτρίβεσθαι αἰσχρὸν παρ' αὐτοῖς **(5)** …………………… . Καὶ μὴν ἐμβατήρια μετ' αὐλοῦ καὶ τάξεως ἀσκοῦντες, ἔτι δὲ ὀρχήσεις ἐκπονοῦντες μετὰ κοινῆς ἐπιστροφῆς καὶ δαπάνης κατ' **(6)** …………………… ἐν τοῖς θεάτροις ἐπιδείκνυνται. Ταῦτ' οὖν αὐτοὺς εἴθισαν οἱ παλαιοὶ οὐ τρυφῆς καὶ περιουσίας χάριν, ἀλλὰ **(7)** …………………… τὴν ἑκάστου κατὰ τὸν βίον σκληρότητα καὶ τὴν τῶν ἠθῶν **(8)** ……………………, ἥτις αὐτοῖς παρέπεται διὰ τὴν τοῦ περιέχοντος ψυχρότητα καὶ στυγνότητα τὴν κατὰ τὸ πλεῖστον ἐν τοῖς τόποις ὑπάρχουσαν, **(9)** …………………… καὶ συνεξομοιοῦσθαι πεφύκαμεν πάντες ἄνθρωποι· διὸ καὶ κατὰ τὰς ἐθνικὰς διαστάσεις πλεῖστον **(10)** …………………… διαφέρομεν ἤθεσι καὶ μορφαῖς καὶ χρώμασιν.

**1.**
a) ἥρως
b) ἥρωσι
c) ἥρωας

**2.**
a) μανθάνουσι
b) μανθάνοντες
c) μανθάνοντας

**3.**
a) τότε
b) ἄγαν
c) οὕτω

**4.**
a) ᾄδειν
b) ᾄδουσιν
c) ᾄδοντες

**5.** a) νομίζεις
b) νομίζεται
c) νομιζόμενον

**6.** a) ἐνιαυτοῖς
b) ἐνιαυτῷ
c) ἐνιαυτὸν

**7.** a) θεωροῦντες
b) θεωροῦντας
c) θεωροῦντος

**8.** a) αὐστηρία
b) αὐστηρίᾳ
c) αὐστηρίαν

**9.** a) οἳ
b) οἷς
c) ὃν

**10.** a) ἀλλήλων
b) ἀλλήλοις
c) ἀλλήλους

## Part 2

Read the three texts. Which text gives you the answer to each question? Choose the correct text for each question.

**A**

Δύο καιροὺς ποιοῦ τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα σαφῶς ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν. Ἐν τούτοις γὰρ μόνοις ὁ λόγος τῆς σιωπῆς κρείττων, ἐν δὲ τοῖς ἄλλοις ἄμεινον σιγᾶν ἢ λέγειν. Τάξον τινὰ ἤδη χαρακτῆρα σεαυτῷ καὶ τύπον, ὃν φυλάξεις ἐπί τε σεαυτοῦ ὢν καὶ ἀνθρώποις ἑτέροις ἐντυγχάνων. Σιωπὴ τὰ πολλὰ ἔστω, ἢ λαλείσθω τὰ ἀναγκαῖα καὶ δι' ὀλίγων. Σπανίως δέ ποτε καιροῦ καλοῦντος ἐπὶ τὸ λέγειν τι ἥξομεν, ἀλλὰ περὶ οὐδενὸς τῶν τυχόντων· μὴ περὶ ἵππων, ἢ ἀθλητῶν ἢ βρωμάτων ἢ πωμάτων, μάλιστα δὲ μὴ περὶ ἀνθρώπων ψέγοντα ἢ ἐπαινοῦντα ἢ συγκρίνοντα. Ἐκείνου ἔχου τοῦ μὴ καθιέναι εἰς ὁμιλίας ἰδιωτικάς, ἀλλ᾽ ἂν οἷός τε ῇς μέταγε τοὺς λόγους ἐπὶ τὸ προσῆκον˙ εἰ δὲ μή, ἀπόλειπε σιωπᾶν. Σφραγίζου τοὺς μὲν λόγους σιγῇ, τὴν δὲ σιγὴν καιρῷ. Πολυμαθία γὰρ πάνυ μὲν ὠφελεῖ, πάνυ δὲ βλάπτει τὸν ἔχοντα· ὠφελεῖ μὲν τὸν δεξιὸν ἄνδρα, βλάπτει δὲ τὸν ῥᾳδίως φωνοῦντα πᾶν ἔπος καὶ ἐν παντὶ δήμῳ. Χρὴ δὲ καιροῦ μέτρα εἰδέναι· σοφίης γὰρ οὗτος ὅρος. Οἳ δὲ ἔξω καιροῦ ῥῆσιν ἀείδουσι, καὶ ἂν πεπνυμένην ἀείδωσιν, οὐ τιθέμενοι ἐν σοφίᾳ γνώμην αἰτίαν ἔχουσι μωρίας.

**B**

Τὴν πόλιν ἅπαντες ἡμῶν, τὰς Ἀθήνας λέγω, Ἕλληνες ὑπολαμβάνουσιν ὡς φιλόλογός τέ ἐστι καὶ πολύλογος, Λακεδαίμονα δὲ καὶ Κρήτην, τὴν μὲν βραχύλογον, τὴν δὲ πολύνοιαν μᾶλλον ἢ πολυλογίαν ἀσκοῦσαν. Γλώσσης δὲ φειδωλῆς ἐν ἀνθρώποις ἄριστος θησαυρός ἐστι. Βραχεῖ λόγῳ καὶ πολλὰ πρόσκειται σοφά. Πολλοῖς γὰρ ἀνθρώπων γλώττῃ ἁρμοδία οὐκ ἐπίκειται θύρα. Εἰ τὸ συνεχῶς καὶ πολλὰ καὶ ταχέως λαλεῖν ἦν τοῦ φρονεῖν παράσημον, αἱ χελιδόνες ἐλέγοντ᾽ ἂν ἡμῶν ἐμφρονέστεραι πολύ. Σὺ δὲ μηδενὸς οὕτως ἐν παντὶ προνοοῦ ὡς τοῦ ἀσφαλοῦς. Πολυλογία πολλὰ σφάλματα ἔχει, τὸ δὲ σιγᾶν βέβαιον. Ἀσφαλέστερον γὰρ τοῦ λέγειν τὸ σιγᾶν. Ἐᾶν δὲ τὸ λέγειν ὅσα δίχα ἔσται νοῦ καὶ λόγου˙ χρήζομεν γὰρ ἐπὶ παντὶ νόου, ἐπεὶ ἐὰν οὗτος μὴ κατευθύνῃ αὐτοὺς τοὺς λόγους, πρὶν βουλευθῆναι ἐκφεύγουσι πολλάκις καὶ κατηλογήσαντα τοσούτου ἕρκους ἄκριτα προεκθρώσκουσιν. Οὐκ ἄν τις εἴπῃ πολλὰ θαυμασθήσεται, ὁ μικρὰ δ᾽ εἰπὼν μᾶλλον ἂν ᾖ χρήσιμα. Μὴ ἐν πολλοῖς ὀλίγα λέγε, ἀλλ᾽ ἐν ὀλίγοις πολλά. Ἀπέστω τὸ πολὺ καὶ ἑαυτοῦ τινων ἔργων μεμνῆσθαι. Οὐ γὰρ ὥς σοι ἡδύ ἐστι τὸ τῶν σῶν πράξεων μεμνῆσθαι, οὕτω καὶ τοῖς ἄλλοις ἄσμενόν ἐστι τὸ τῶν συμβαινόντων ἀκούειν.

**C**

Καὶ ἦν ἴσως πολυλογώτερος, ἅμα μὲν διὰ τὴν παιδείαν, ὅτι ἠναγκάζετο ὑπὸ τοῦ διδασκάλου καὶ διδόναι λόγον ὧν ἐποίει καὶ λαμβάνειν παρ' ἄλλων, ὁπότε δικάζοι, ἔτι δὲ καὶ διὰ τὸ φιλομαθὴς εἶναι πολλὰ μὲν αὐτὸς ἀεὶ τοὺς παρόντας ἀνηρώτα πῶς ἔχοντα τυγχάνοι, καὶ ὅσα αὐτὸς ὑπ' ἄλλων ἐρωτῷτο, διὰ τὸ ἀγχίνους εἶναι ταχὺ ἀπεκρίνετο, ὥστ' ἐκ πάντων τούτων ἡ πολυλογία συνελέγετο αὐτῷ· ἀλλ' ὥσπερ γὰρ ἐν σώματι, ὅσοι νέοι ὄντες μέγεθος ἔλαβον, ὅμως ἐμφαίνεται τὸ νεαρὸν αὐτοῖς ὃ κατηγορεῖ τὴν ὀλιγοετίαν, οὕτω καὶ Κύρου ἐκ τῆς πολυλογίας οὐ θράσος διεφαίνετο, ἀλλ' ἁπλότης καὶ φιλοστοργία, ὥστ' ἐπεθύμει ἄν τις ἔτι πλείω αὐτοῦ ἀκούειν ἢ σιωπῶντι παρεῖναι. Ὡς δὲ προῆγεν αὐτὸν ὁ χρόνος σὺν τῷ μεγέθει εἰς ὥραν τοῦ πρόσηβον γενέσθαι, ἐν τούτῳ τοῖς μὲν λόγοις μείοσιν ἐχρῆτο καὶ τῇ φωνῇ ἡσυχαιτέρᾳ, αἰδοῦς δ' ἐνεπίμπλατο ὥστε καὶ ἐρυθραίνεσθαι ὁπότε συντυγχάνοι τοῖς πρεσβυτέροις˙ οὕτω δὴ ἡσυχαίτερος μὲν ἦν, ἐν δὲ ταῖς συνουσίαις πάμπαν ἐπίχαρις. Καὶ γὰρ ὅσα διαγωνίζονται πολλάκις ἥλικες πρὸς ἀλλήλους, οὐχ ἃ κρείττων ᾔδει ὤν, ταῦτα προυκαλεῖτο τοὺς συνόντας, ἀλλ' ἅπερ εὖ ᾔδει ἑαυτὸν ἥττονα ὄντα, ἐξῆρχε, φάσκων κάλλιον αὐτῶν ποιήσειν.

**Which text gives you the answers to the following questions?**

| | | | |
|---|---|---|---|
| **1.** | Δύναιτο δ΄ ἂν ἡ παιδεία ἐπεῖξαί τινα εἶναι φλύαρον. | …………………. | ☐ |
| **2.** | Ἆρά γέ τινες τῶν ὀρνίθων συνετώτεροι τῶν ἀνθρώπων τυγχάνουσιν ὄντες. | ………………… | ☐ |
| **3.** | Εἰ τὰ λεγόμενα οὐ ἐπὶ τὸ πρέπον ἐστί, δεῖ σε ὅλως σιωπᾶν ἢ συνεχῶς λέγειν; | ………………… | ☐ |
| **4.** | Τοῖς ἀεὶ πλεῖστα λέγουσι τί δεῖ ἐπικεῖσθαι. | ………………… | ☐ |
| **5.** | Δεῖ ἡμᾶς τοῖς φίλοις περὶ τῶν ἡμετέρων μόνον ἔργων διαλέγεσθαι; | ………………… | ☐ |
| **6.** | Χρὴ ἡμᾶς πάντα ταῦτα περὶ ὧν διαλεγόμεθα σαφῶς γνῶναι. | ………………… | ☐ |
| **7.** | Εἴθιζον πάλαι οἱ νέοι τοῖς γεραιτέροις συναντήσαντες τῆς αἰδοῦς ἑαυτοὺς πληρώσασθαι; | ………………… | ☐ |
| **8.** | Λέγουσί τις τοῖς φίλοις βούλεται συνεῖναι μᾶλλον ἢ σιωπῶσιν. | ………………… | ☐ |

**Part 3**

Read the text. Choose the correct words to complete the text. There are two extra words you will not need.

Καὶ νῦν πρῶτον μὲν ἂν ὑμεῖς μέγα **(1)** …………………… τὸ στράτευμα, εἰ ἐπιμεληθείητε ὅπως ἀντὶ τῶν ἀπολωλότων ὡς τάχιστα στρατηγοὶ καὶ λοχαγοὶ ἀντικατασταθῶσιν. Ἄνευ γὰρ **(2)** …………………… οὐδὲν ἂν οὔτε καλὸν οὔτε ἀγαθὸν **(3)** …………………… μὲν οὐδαμοῦ, ἐν δὲ δὴ τοῖς πολεμικοῖς παντάπασιν. Ἡ μὲν γὰρ εὐταξία σῴζειν δοκεῖ, ἡ δὲ ἀταξία πολλοὺς ἤδη διέφθειρε. Ἐπειδὰν δὲ καταστήσησθε τοὺς ἄρχοντας ὅσους δεῖ, ἢν καὶ τοὺς ἄλλους στρατιώτας **(4)** …………………… καὶ παραθαρρύνητε, ἡγοῦμαι ἂν ὑμᾶς πάνυ ἐν καιρῷ ποιῆσαι. Νῦν γὰρ ἴσως καὶ ὑμεῖς αἰσθάνεσθε **(5)** …………………… ἀθύμως μὲν ἦλθον ἐπὶ τὰ ὅπλα, ἀθύμως δὲ πρὸς τὰς φυλακάς· ὥστε οὕτω γ' ἐχόντων τῶν πραγμάτων οὐκ οἶδα ὅ,τι **(6)** …………………… τις χρήσαιτο αὐτοῖς, εἴτε νυκτὸς δέοι εἴτε καὶ ἡμέρας· **(7)** …………………… δέ τις αὐτῶν τρέψῃ τὰς γνώμας, ὡς μὴ τοῦτο **(8)** …………………… ἐννοῶνται, τί πείσονται, ἀλλὰ καὶ τί ποιήσουσι, πολὺ εὐθυμότεροι ἔσονται. Ἐπίστασθε γὰρ δὴ ὅτι οὔτε πλῆθός ἐστιν οὔτε ἰσχὺς ἡ ἐν τῷ πολέμῳ τὰς νίκας ποιοῦσα, ἀλλ' ὁπότεροι ἂν σὺν τοῖς θεοῖς ταῖς ψυχαῖς ἐρρωμενέστεροι ἔλθωσιν ἐπὶ τοὺς πολεμίους, τούτους οἱ ἐναντίοι οὐ δέχονται. Ἐντεθύμημαι δ' ἔγωγε, ὦ ἄνδρες, καὶ τοῦτο, ὅτι ὁπόσοι μὲν ζητοῦσι ζῆν ἐκ παντὸς τρόπου ἐν τοῖς πολεμικοῖς, οὗτοι μὲν **(9)** …………………… ὡς ἐπὶ τὸ πολὺ ἀποθνήσκουσιν, ὁπόσοι δὲ τὸν μὲν θάνατον ἐγνώκασι πᾶσι κοινὸν εἶναι καὶ ἀναγκαῖον ἀνθρώποις, περὶ δὲ τοῦ καλῶς ἀποθνήσκειν ἀγωνίζονται, τούτους ὁρῶ **(10)** …………………… εἰς τὸ γῆρας ἀφικνουμένους.

**A.** ἄν

**B.** συλλέγητε

**C.** κινδύνων

**D.** ὠφελήσαιτε

**E.** μόνον

**F.** ἀρχόντων

**G.** ἦν

**H.** γένοιτο

**I.** μᾶλλον

**J.** ὡς

**K.** εἰ

**L.** αἰσχρῶς

## Part 4

Read the text and the questions. Choose the correct answer for each question.

**Ἡ τοῦ Λόγου Δύναμις**

Λόγος δυνάστης μέγας ἐστίν, ὃς σμικροτάτῳ σώματι καὶ ἀφανεστάτῳ θειότατα ἔργα ἀποτελεῖ· δύναται γὰρ καὶ φόβον παῦσαι καὶ λύπην ἀφελεῖν καὶ χαρὰν ἐνεργάσασθαι καὶ ἔλεον ἐπαυξῆσαι.

Εἰ γὰρ πάντες περὶ πάντων εἶχον τῶν τε παροιχομένων μνήμην τῶν τε παρόντων ἔννοιαν τῶν τε μελλόντων πρόνοιαν, οὐκ ἂν ὁμοίως ὁ λόγος ἠπάτα. Νῦν δὲ περὶ τῶν πλείστων οἱ πλεῖστοι τὴν δόξαν σύμβουλον τῇ ψυχῇ παρέχονται. Ἡ δὲ δόξα σφαλερὰ καὶ ἀβέβαιος οὖσα σφαλεραῖς καὶ ἀβεβαίοις εὐτυχίαις περιβάλλει τοὺς αὐτῇ χρωμένους.

Τίς οὖν αἰτία κωλύει καὶ τὴν Ἑλένην νομίσαι ἐλθεῖν ὁμοίως ἄκουσαν οὖσαν; Ἡ γὰρ τῆς πειθοῦς ἕξις, καίτοι εἰ ἀνάγκης εἶδος ἔχει μὲν οὔ, τὴν δὲ δύναμιν τὴν αὐτὴν ἔχει. Λόγος γὰρ ψυχὴν ὁ πείσας, ἣν ἔπεισεν, ἠνάγκασε καὶ πιθέσθαι τοῖς λεγομένοις καὶ συναινέσαι τοῖς ποιουμένοις. Ὁ μὲν οὖν πείσας ὡς ἀναγκάσας ἀδικεῖ, ἡ δὲ πεισθεῖσα ὡς ἀναγκασθεῖσα τῷ λόγῳ μάτην ἀκούει κακῶς.

Ὅτι δ᾽ ἡ πειθὼ προσιοῦσα τῷ λόγῳ καὶ τὴν ψυχὴν ἐτυπώσατο ὅπως ἐβούλετο, χρὴ μαθεῖν πρῶτον μὲν τοὺς τῶν μετεωρολόγων λόγους, οἵτινες δόξαν ἀντὶ δόξης τὴν μὲν ἀφελόμενοι τὴν δ᾽ ἐνεργασάμενοι τὰ ἄπιστα καὶ ἄδηλα φαίνεσθαι τοῖς τῆς δόξης ὄμμασιν ἐποίησαν· δεύτερον δὲ τοὺς ἀναγκαίους διὰ λόγων ἀγῶνας, ἐν οἷς εἷς λόγος πολὺν ὄχλον ἔτερψε καὶ ἔπεισε τέχνῃ γραφείς, οὐκ ἀληθείᾳ λεχθείς· τρίτον δὲ φιλοσόφων λόγων ἁμίλλας, ἐν αἷς δείκνυται καὶ γνώμης τάχος ὡς εὐμετάβολον ποιοῦν τὴν τῆς δόξης πίστιν.

Τὸν αὐτὸν δὲ λόγον ἔχει ἥ τε τοῦ λόγου δύναμις πρὸς τὴν τῆς ψυχῆς τάξιν ἥ τε τῶν φαρμάκων τάξις πρὸς τὴν τῶν σωμάτων φύσιν. Ὥσπερ γὰρ τῶν φαρμάκων ἄλλους ἄλλα χυμοὺς ἐκ τοῦ σώματος ἐξάγει, καὶ τὰ μὲν νόσου τὰ δὲ βίου παύει, οὕτω καὶ τῶν λόγων οἱ μὲν ἐλύπησαν, οἱ δὲ ἔτερψαν, οἱ δὲ ἐφόβησαν, οἱ δὲ εἰς θάρσος κατέστησαν τοὺς ἀκούοντας, οἱ δὲ πειθοῖ τινι κακῇ τὴν ψυχὴν ἐφαρμάκευσαν καὶ ἐξεγοήτευσαν.

**1.** Ὁ συγγραφεύς φησιν ὅτι

a) τῆς λύπης ὁ λόγος φάρμακόν ἐστιν ἄριστον.
b) ἀφανεῖς γίγνονται οἱ λέγοντες σωμάτων περὶ σμικρῶν.
c) μεγάλην ἔχουσιν ἀρχὴν οἱ δυνάσται.

**2.** Ὅσοι τῶν παρελθόντων πράξεων μέμνηνται

a) οὐχ ὁμοίως τοῖς ἀμνήμοσι πάσχουσιν.
b) τὰ μέλλοντα ἐννοοῦσι καὶ τὰ νῦν συμβαίνοντα προνοοῦσιν.
c) οὐκ ἂν δύναιντο ὑπὸ τοῦ λόγου ἀπατᾶσθαι.

**3.** Κατὰ τὴν τοῦ συγγραφέως γνώμην

a) ἁμαρτάνουσιν οἱ δοκοῦντες σφαλερὰν τὴν δόξαν εἶναι.
b) ἡ δόξα τοῖς αὐτὴν κεκτημένοις οὐ παρέχει ἀσφαλῆ εὐδαιμονίαν.
c) οἱ σφαλερὰς γνώμας ἔχοντες ἀπατοῦσι τοῖς λόγοις πάντας τοὺς χαίροντας.

**4.** Ὁ συγγραφεύς φησι τὴν Ἑλένην

a) οὐκ ἄκουσαν ἐνθάδε ἐλθεῖν.
b) ἀναγκάσαι τοῦτον τῇ τοῦ λόγου πειθοῖ αὐτόθι ἀγαγεῖν ταύτην.
c) καίπερ μὴ θελήσασαν ἕπεσθαι τῷ πείσαντι αὐτὴν ἀδίκως κατηγορεῖται.

**5.** Οἱ τῶν μετεωρολόγων λόγοι

a) πάντα τὸν δῆμον τέρπουσιν.
b) ἐρίζουσι τοῖς τῶν φιλοσόφων λόγοις.
c) μηνύουσι πάντα τὰ ἀφανῆ καὶ τὰ ἀπιστίαν ἔχοντα.

**6.** Ἡ τοῦ λόγου ἰσχὺς

a) δύναται τὰς ἀρρωστίας καὶ τοὺς τοῦ βίου πόνους θεραπεῦσαι.
b) ἔοικε τῇ τῶν φαρμάκων φύσει.
c) τὰ τῶν ἀνθρώπων σώματα χυμῶν πληροῖ.

## Part 5

Read the text. Use the sentences to complete the text. Choose the correct sentence for each gap. There is one extra sentence you will not need.

Οὐκοῦν χρὴ καὶ περὶ τῶν λόγων τὴν αὐτὴν ἔχειν διάνοιαν ἥνπερ καὶ περὶ τῶν ἄλλων. Μὴ περὶ τῶν ὁμοίων τἀναντία γιγνώσκειν, μηδὲ πρὸς τοιοῦτον πρᾶγμα δυσμενῶς φαίνεσθαι διακειμένους. **(1)** …………………… Τοῖς μὲν γὰρ ἄλλοις οἷς ἔχομεν, ἅπερ ἤδη καὶ πρότερον εἶπον, οὐδὲν τῶν ζῴων διαφέρομεν˙ **(2)** …………………… ἐγγενομένου δ' ἡμῖν τοῦ πείθειν ἀλλήλους καὶ δηλοῦν πρὸς ἡμᾶς αὐτοὺς περὶ ὧν ἂν βουληθῶμεν, τοῦ θηριωδῶς ζῆν ἀπηλλάγημεν. **(3)** …………………… Καὶ σχεδὸν ἅπαντα τὰ δι' ἡμῶν μεμηχανημένα λόγος ἡμῖν ἐστιν ὁ συγκατασκευάσας. Οὗτος γὰρ περὶ τῶν δικαίων καὶ τῶν ἀδίκων καὶ τῶν καλῶν καὶ τῶν αἰσχρῶν ἐνομοθέτησεν, ὧν μὴ διαταχθέντων οὐκ ἂν οἷοί τ' ἦμεν οἰκεῖν μετ' ἀλλήλων. **(4)** …………………… Διὰ τούτου τούς τ' ἀνοήτους παιδεύομεν καὶ τοὺς φρονίμους δοκιμάζομεν· τὸ γὰρ λέγειν ὡς δεῖ τοῦ φρονεῖν εὖ μέγιστον σημεῖον ποιούμεθα, καὶ λόγος ἀληθὴς καὶ νόμιμος καὶ δίκαιος ψυχῆς ἀγαθῆς καὶ πιστῆς εἴδωλόν ἐστιν. **(5)** …………………… ταῖς γὰρ πίστεσιν, αἷς τοὺς ἄλλους λέγοντες πείθομεν, ταῖς αὐταῖς ταύταις βουλευόμενοι χρώμεθα˙ καὶ ῥητορικοὺς μὲν καλοῦμεν τοὺς ἐν τῷ πλήθει λέγειν δυναμένους˙ εὐβούλους δὲ νομίζομεν, οἵτινες ἂν αὐτοὶ πρὸς αὑτοὺς ἄριστα περὶ τῶν πραγμάτων διαλεχθῶσιν. **(6)** …………………… . Καὶ τῶν ἔργων καὶ τῶν διανοημάτων ἁπάντων ἡγεμόνα λόγον ὄντα, καὶ μάλιστα χρωμένους αὐτῷ τοὺς πλεῖστον νοῦν ἔχοντας.

**A.** Μετὰ τούτου καὶ περὶ τῶν ἀμφισβητησίμων ἀγωνιζόμεθα καὶ περὶ τῶν ἀγνοουμένων σκοπούμεθα·

**B.** Εἰ δὲ λόγος ἦν ὁ πείσας τὸν ἄνδρα οὐδὲ πρὸς τοῦτο χαλεπὸν ἀπολογήσασθαι.

**C.** Καὶ συνελθόντες πόλεις ᾠκίσαμεν καὶ νόμους ἐθέμεθα καὶ τέχνας εὕρομεν.

**D.** Εἰ δὲ δεῖ συλλήβδην περὶ τῆς δυνάμεως ταύτης εἰπεῖν, οὐδὲν τῶν φρονίμως πραττομένων εὑρήσομεν ἀλόγως γιγνόμενον.

**E.** Τοῦτο γὰρ πάντων τῶν ἐνόντων ἐν τῇ τῶν ἀνθρώπων φύσει πλείστων ἀγαθῶν αἴτιόν ἐστιν.

**F.** ἀλλὰ πολλῶν καὶ τῷ τάχει καὶ τῇ ῥώμῃ καὶ ταῖς ἄλλαις εὐπορίαις καταδεέστεροι τυγχάνομεν ὄντες·

**G.** Τούτῳ καὶ τοὺς κακοὺς ἐξελέγχομεν καὶ τοὺς ἀγαθοὺς ἐγκωμιάζομεν.